ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Η Σύναξις του Τιμίου Προδρόμου

7 Ιανουαρίου 2018

Απόστολος – ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ ΙΘ' 1-8

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρὼν μαθητάς τινας εἶπε πρὸς αὐτούς· εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ᾽ οὐδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ᾽ ἔστιν εἰς τὸν Ἰησοῦν Χριστόν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Απόστολος – Μετάφραση,

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ ΙΘ' 1-8

Εκείνες τις ημέρες, ενώ ο Απολλώς ήταν στην Κόρινθο, ο Παύλος περιόδευσε τα ψηλά οροπέδια της Μικράς Ασίας κι ύστερα ήρθε στην Έφεσο. Εκεί βρήκε μερικούς χριστιανούς και τους ρώτησε: «Όταν πιστέψατε, λάβατε το Άγιο Πνεύμα;» Αυτοί απάντησαν: «Μα εμείς ούτε καν έχουμε ακούσει ότι υπάρχει Άγιο Πνεύμα». Ο Παύλος τους ρώτησε: «Τι είδους βάπτισμα λοιπόν λάβατε;» Κι αυτοί απάντησαν: «Το βάπτισμα του Ιωάννη». Ο Παύλος τότε τους εξήγησε: «Ο Ιωάννης βάφτισε εκείνους που ήθελαν να αρχίσουν μια καινούρια ζωή. Έλεγε όμως στο λαό να πιστέψουν σ' εκείνον που ερχόταν ύστερα απ' αυτόν, δηλαδή στον Ιησού Χριστό». Όταν το άκουσαν αυτό, βαφτίστηκαν στο όνομα του Κυρίου Ιησού. Ο Παύλος ακούμπησε τα χέρια του πάνω τους, και ήρθε το Άγιο Πνεύμα σ' αυτούς· άρχισαν τότε να μιλούν γλώσσες και να προφητεύουν. Αυτοί ήταν συνολικά κάπου δώδεκα άντρες. Τους επόμενους τρεις μήνες ο Παύλος πήγαινε στη συναγωγή, όπου με παρρησία κήρυττε και συζητούσε, φέρνοντας πειστικές αποδείξεις σχετικά με τη βασιλεία του Θεού.

Ευαγγέλιο - ΚΑΤΑ ΙΩΑΝΝΗΝ Α’ 29-34

Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΙΩΑΝΝΗΝ Α’ 29-34

Εκείνο τον καιρό, ο Ιωάννης βλέπει τον Ιησού να έρχεται προς το μέρος του και λέει: «Αυτός είναι ο αμνός του Θεού, που παίρνει πάνω του την αμαρτία των ανθρώπων. Γι’ αυτόν σας μίλησα όταν είπα, “ύστερα από μένα έρχεται ένας που είναι ανώτερός μου, γιατί υπήρχε πριν εγώ να γεννηθώ”. Εγώ κάποτε δεν τον ήξερα ποιος είναι. Για να τον γνωρίσει όμως ο Ισραήλ, γι’ αυτό ήρθα εγώ και βαφτίζω με νερό». Κι ο Ιωάννης διακήρυξε δημόσια και είπε: «Είδα το Πνεύμα να κατεβαίνει σαν περιστέρι από τον ουρανό και να μένει πάνω του. Εγώ δεν τον ήξερα ποιος ήταν, αυτός όμως που με έστειλε να βαφτίζω με νερό, αυτός μου είπε: “εκείνος που πάνω του θα δεις να κατεβαίνει και να μένει το Πνεύμα, αυτός είναι που βαφτίζει με Άγιο Πνεύμα”. Κι αυτό εγώ το είδα· και διακήρυξα δημόσια πως αυτός είναι ο Υιός του Θεού».

7 Ιανουαρίου 2018, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης